## Capitolo VI



Ὁ Θησεὺς οὐ φοβεῖται ἀλλ᾽ἀνδρείως μάχεται καὶ τὸν Μῑνώταυρον ἀποκτείνει.

### Ο ΜΥΘΟΣ (β)

«Ἐπεὶ δὲ ἡμέρᾱ γίγνεται, ὁ Μίνως ἔρχεται πρὸς τὸ δεσμωτήριον καὶ καλεῖ τόν τε Θησέᾱ καὶ τοὺς ἑταίρους καὶ ἄγει αὐτοὺς πρὸς τὸν λαβύρινθον. Ἐπεὶ δὲ ἀφικνοῦνται, οἱ δοῦλοι ἀνοίγουσι τὰς πύλᾱς καὶ τοὺς Ἀθηναίους εἰσελαύνουσιν. Ἔπειτα δὲ τὰς πύλᾱς κλείουσι καὶ ἀπέρχονται· οὕτω γὰρ τῷ Μῑνωταύρῳ σῖτον παρέχουσιν εἰς πολλὰς ἡμέρᾱς. Οἱ μὲν οὖν ἑταῖροι μάλιστα φοβοῦνται, ὁ δὲ Θησεύς, "μὴ φοβεῖσθε, ὦ φίλοι," φησίν·



οἱ δοῦλοι ἀνοίγουσι τὰς πύλᾱς

ἔρχεται = βαίνει



αἱ πύλαι (τῶν πυλῶν)

εἰσ-ελαύνω

κλείω ↔ ἀνοίγω

εἰς per, durant

## Capitolo VI

ἕπομαι (+ *dat.*) = ὄπισθεν βαίνω, ἀκολουθέω
ἡγοῦμαι (< ἡγέομαι) + *dat.* = ἄγω + *acc.*







πορεύομαι = βαδίζω

τρέπομαι = ἀναστρέφω



ὁ Μῑνώταυρος βρῡχᾶται· «μῦ, μῦ»


ὁ πούς (τῶν ποδῶν)

ὁρμᾶται = ὁρμᾷ

"ἐγὼ γὰρ ὑμᾶς σώσω. Ἕπεσθέ μοι οὖν ἀνδρείως." Οὕτω λέγει καὶ ἡγεῖται αὐτοῖς εἰς τὸν λαβύρινθον.

Ὁ μὲν οὖν Θησεὺς ἐν μὲν τῇ ἀριστερᾷ ἔχει τὸ λίνον, ἐν δὲ τῇ δεξιᾷ τὸ ξίφος, καὶ προχωρεῖ εἰς τὸν σκότον. Οἱ δὲ ἑταῖροι μάλιστα φοβοῦνται ἀλλ᾽ὅμως ἕπονται· ἡ γὰρ ἀνάγκη αὐτοὺς ἔχει. Μακρὰν οὖν ὁδὸν πορεύονται καὶ πολλάκις μὲν τρέπονται, πολλάκις δὲ ψόφους δεινοὺς ἀκούουσιν· ὁ γὰρ Μῑνώταυρος διώκει αὐτοὺς ἐν τῷ σκότῳ καὶ μάλα δεινῶς βρῡχᾶται. Ἐνταῦθα δὴ τὸν τῶν ποδῶν ψόφον ἀκούουσι καὶ τὸ τοῦ θηρίου πνεῦμα ὀσφραίνονται, καὶ ἰδού, ἐν τῇ ὁδῷ πάρεστιν ὁ Μῑνώταυρος. Δεινῶς δὴ βρῡχᾶται καὶ ἐπὶ τὸν Θησέᾱ ὁρμᾶται.







προ-χωρέω avanç, vaig endavant
ἡ ἀναγκέ, τῆς ἀναγκῆς la necessitat

| | |
|---|---|
| σώσω | salvaré |

## Capitolo VI



Ὁ δὲ Θησεὺς οὐ φοβεῖται ἀλλὰ μάλα ἀνδρείως μάχεται· τῇ μὲν γὰρ ἀριστερᾷ λαμβάνεται τῆς κεφαλῆς τοῦ θηρίου, τῇ δὲ δεξιᾷ τὸ στῆθος τύπτει. Ὁ δὲ Μῑνώταυρος δεινῶς κλάζει καὶ καταπῑ́πτει πρὸς τὴν γῆν. Οἱ δὲ ἑταῖροι, ἐπεὶ ὁρῶσι τὸ θηρίον ἐπὶ τῇ γῇ κείμενον, χαίρουσι καί, "ὦ Θησεῦ," φᾱσίν, "ὡς ἀνδρεῖος εἶ· ὡς θαυμάζομέν σε καὶ τῑμῶμεν. Ἀλλὰ νῦν γε σῷζε ἡμᾶς ἐκ τοῦ λαβυρίνθου καὶ ἡγοῦ πρὸς τὰς πύλᾱς. Μακρᾱ̀ γάρ ἐστιν ἡ ὁδὸς καὶ πολὺς ὁ σκότος· τὴν δ'ὁδὸν ἀγνοοῦμεν."

ὁ Θησεὺς ἀνδρείως μάχεται



ὁ Θησεὺς λαμβάνεται τῆς κεφαλῆς τοῦ θηρίου

λαμβάνομαι (+ *gen.*)



ἡ κεφαλή (τῆς κεφαλῆς)



τὸ στῆθος



οἱ ἑταῖροι τῑμῶσι τὸν Θησέᾱ

ἡγοῦ *ἡμῖν* = ἄγε ἡμᾶς

| | |
|---|---|
| κλάζω | crid, faig crits |
| γέ | certament; al manco |

| | |
|---|---|
| κείμενον | salvaré |

## Capitolo VI



ὁ μοχλός (τοῦ μοχλοῦ)

Ὁ δὲ Θησεὺς οὐ φοβεῖται ἀλλὰ τὸ λίνον λαμβάνει — οὕτω γὰρ τὴν ὁδὸν γιγνώσκει — καὶ ἡγεῖται τοῖς ἑταίροις πρὸς τᾱ̀ς πύλᾱς. Ἐπεὶ δ᾽ἀφικνοῦνται, τὸν μοχλὸν διακόπτουσι καὶ μένουσιν ἐκεῖ·



ὁ Θησεὺς διακόπτει τὸν μοχλόν (δια-κόπτω)

ἔτι γὰρ ἡμέρᾱ ἐστίν. Ἐπεὶ δὲ νὺξ γίγνεται, ἐξέρχονται ἐκ τοῦ λαβυρίνθου καὶ σπεύδουσι πρὸς τὴν ναῦν. Ἐκεῖ δὲ τὴν Ἀριάδνην ὁρῶσιν· μένει γὰρ πρὸς τῇ νηΐ. Ταχέως οὖν εἰσβαίνουσι καὶ ἀποπλέουσι πρὸς τᾱ̀ς Ἀθήνᾱς. Οὕτως οὖν ὁ Θησεὺς τόν τε Μῑνώταυρον ἀποκτείνει καὶ τοὺς

ἐξ-έρχονται

ἀπο-πλέω

ἑταίρους σῴζει εἰς τὰς Ἀθήνας.»

Οὕτω περαίνει τὸν μῦθον ἡ Μυρρίνη, ἡ δὲ Μέλιττα, «καὶ ἡ Ἀριάδνη;» φησίν· «ἆρα χαίρει; ἆρα φιλεῖ αὐτὴν ὁ Θησεύς;» Ἡ δὲ Μυρρίνη· «Οὐδαμῶς· οὐ χαίρει ἡ Ἀριάδνη οὐδὲ φιλεῖ αὐτὴν ὁ Θησεύς.» Ἡ δὲ Μέλιττα· «Διὰ τί οὐ φιλεῖ αὐτὴν ὁ Θησεύς; Τί γίγνεται;» Ἡ δὲ μήτηρ· «Ἐκεῖνον τὸν μῦθον οὐκ ἐθέλω σοι λέγειν νῦν γε.»

περαίνω acab

ἐκεῖνος, ἐκείνη, ἐκεῖνο aquell